# ΔΟΞΟΛΟΓΙΑ

***πρὸς τιμὴν τῆς***
***Αὐτοῦ Μεγαλειώτητος τοῦ Βασιλέως Καρόλου Γ΄***
***(7 Μαΐου 2023)***

**Ὁ Ἱερεύς:** Εὐλογητός ὁ Θεός ἡμῶν πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

**Ὁ Λαός:** Χριστὸς Ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος (τρὶς)

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι· καί νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς ἐλέησον ἡμᾶς. Κύριε ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα συγχώρησον τάς ἀνομίας ἡμῖν. Ἅγιε ἐπίσκεψαι καί ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι· καί νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

**Ὁ Ἱερεύς:** Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

**Ὁ Χορός: Ἀμὴν.**

Ἀπολυτίκια:

1. Τὸ Ἀναστάσιμον ἦχος γ′
   *Εὐφραινέσθω τά οὐράνια, ἀγαλλιάσθω τά ἐπίγεια, ὅτι ἐποίησε κράτος, ἐν βραχίονι αὐτοῦ ὁ Κύριος. Ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον, πρωτότοκος τῶν νεκρῶν ἐγένετο, ἐκ κοιλίας ᾅδου ἐρρύσατο ἡμᾶς καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.*
2. Τοῦ Ναοῦ
3. Δόξα...Τοῦ Ἁγίου Γεωργίου (προστάτου τοῦ Ἡνωμένου Βασιλείου)
   *Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος, Τροπαιοφόρε Μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.*
4. Καί νῦν... Τὸ Κοντάκιον τῆς Ἀναστάσεως ἦχος πλάγιος δ′
   *Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅιδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ Μυροφόροις φθεγξάμενος. Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.*

## Δοξολογία

**Ὁ Χορός:**

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ′)

**Ὁ Ἱερεύς**: Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

**Ὁ Χορός:** Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

**Ὁ Ἱερεύς**: Ἔτι δεόμεθα ὑπὲρ τοῦ εὐσεβεστάτου Βασιλέως τῆς χώρας ταύτης Καρόλου Γ′.

**Ὁ Χορός:** Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

**Ὁ Ἱερεύς**: Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν Νικήτα καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

**Ὁ Χορός:** Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

**Ὁ Ἱερεύς:**: Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῆς Βασιλικῆς Οἰκογενείας, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν τῷ κράτει τοῦ Μαγαλειοτάτου Βασιλέως ἡμῶν καὶ τοῦ ἁπανταχοῦ Βασιλικοῦ Στρατοῦ.

**Ὁ Χορός:** Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

**Ὁ Ἱερεύς**: Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεός ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ Χορός: Ἀμήν.**

**Ὁ Ἱερεύς**: Δόξα σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, (τοῦ Ἁγίου / τῆς Ἁγίας Ναοῦ) τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακείμ καὶ Ἄννης, τοῦ ἁγίου ἐνδόξου μάρτυρος Ἀκακίου, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς.

**Ὁ Χορὸς:** Ἀμήν.

Κατόπιν ψάλλεται τὸ, "**God Save the King**":

**God save our gracious King!**
**Long live our noble King! God**
**save the King!**
**Send him victorious**
**Happy and glorious**
**Long to reign over us God**
**save the King!**